'τούτων διαταράξει τοὺς ἄνδρας· ἀλλὰ τοῖς μαθηματικοῖς
οὐχ ὑφήσονται τῆς ἀκριβείας, ὡς μᾶλλον ἂν ἐκείνους δια-
φυγόντα τὸν χρόνον ἐν κινήσεσι καὶ περιόδοις οὕτω
μακρὰν ἀφεστώσαις, ἢ τὸ μέτρον αὐτοὺς τοῦ ἐλαίου προσ-
έχοντας ἀεὶ διὰ τὴν ἀτοπίαν τῷ παραλόγῳ καὶ παραφυ-
λάττοντας. τὸ δὲ μικρὰ μὴ διδόναι σημεῖα γίγνεσθαι D
μεγάλων, ὦ Δημήτριε, πολλαῖς ἔσται τέχναις ἐμποδών,
ἐπεὶ [καὶ] πολλῶν μὲν ἀποδείξεις παραιρεῖσθαι συμβήσεται
πολλῶν δὲ προαγορεύσεις. καίτοι καὶ ἡμῖν οὐ μικρὸν
ἀποδείκνυτε πρᾶγμα, λεαίνεσθαι ξυρῷ τὰ σώματα τοὺς
ἥρωας, ἐντυχόντες [γὰρ] Ὁμήρῳ (Κ 173) ξυρὸν ὀνομά-
σαντι, καὶ δανείζειν ἐπὶ τόκοις, ὅτι που (γ 367) 'χρέος
ὀφέλλεσθαι' φησίν 'οὔτι νέον οὐδ' ὀλίγον,' ὡς τοῦ ὀφέλ-
λεσθαι τὸ αὔξεσθαι δηλοῦντος. αὖθις δὲ τὴν νύκτα 'θοήν'
εἰπόντος ἀγαπητῶς ἐμφύεσθε τῷ ῥήματι καὶ τοῦτ' ἐκεῖνό
φατε, φράζεσθαι τὴν σκιὰν τῆς γῆς ὑπ' αὐτοῦ κωνικήν,
οὖσαν ἀπὸ σφαιροειδοῦς. ἰατρικὴν δὲ λοιμῶδες θέρος E
ἀραχνίων πλήθει προδηλοῦν καὶ θρίοις ἐαρινοῖς ὅταν
κορώνης ποσὶν εἴκελα γένηται τίς ἐάσει τῶν ἀξιούντων
μικρὰ σημεῖα μὴ γίγνεσθαι τῶν μεγάλων; τίς δ' ἀνέξεται
πρὸς χοῦν καὶ κοτύλην ὕδατος τὸ τοῦ ἡλίου μέγεθος
μετρούμενον, ἢ τῆς ἐνταῦθα πλινθίδος ἣν ποιεῖ γωνίαν
ὀξεῖαν κεκλιμένη πρὸς τὸ ἐπίπεδον, μέτρον εἶναι λεγο-
μένην τοῦ ἐξάρματος, ὃ ἐξῆρται τῶν πόλων ὁ ἀεὶ φανερὸς
ἀπὸ τοῦ ὁρίζοντος; ταῦτα γὰρ ἦν ἀκούειν τῶν ἐκεῖ